www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΑΘΑΝΑΣΙΟΝ, ΠΑΤΡΙΑΡΧΗΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

*(οὗ ἡ μνήμη τῇ κη΄ Ὀκτωβρίου)*



Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 2008 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΘΑΝΑΣΙΟΝ ΠΑΤΡΙΑΡΧΗΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

***

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπεν τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου·καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*Θεὸς Κύριος, καὶ τὰ τροπάρια*

*Ἦχος δ΄ Ὁ ὑψωθείς.*

Βασιλευούσης τὸν χριστόπνουν ποιμένα,
ἀθανασίας τὸν ἐπώνυμον θύτην,
τὸν θεῖον Ἀθανάσιον τιμήσωμεν πιστοί,
καὶ κατασπαζόμενοι,
τὴν ἁγίαν εἰκόνα,
τούτου ἐκζητήσωμεν,
πρὸς Χριστὸν τὰς πρεσβείας,
ἵνα κινδύνων ῥύσηται ἡμᾶς,
καὶ βασιλείαν,
παράσχῃ αἰώνιον.

*Δόξα. Καὶ νῦν Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνωνϗ
τίς δὲ διεφύλαξεν,
ἕως νῦν ἐλευθέρουςϗ
οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

www.tezaurliturgic.ro


Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**
*«Ἀθανασίαν πάρεχε τοῖς σὲ τιμῶσι, Πάτερ. Ἀ(θανάσιος)».*

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

Ἀδὰμ ὁ πρωτόπλαστος φθονηθείς,
θνητὸς ἐγεγόνει,
σὺ δέ, πάτερ, ἐπιποθῶν,
ζωὴν ἐφευρεῖν ἀθανασίας,
ὥσπερ ἀσώματος σώματι ἔζησας.

Θεὸν ἀγαπήσας ἀπὸ παιδός,
ἐμίσησας πᾶσαν,
Ἀθανάσιε κοσμικήν,
καὶ δόξαν καὶ γνῶσιν καὶ ἀξίαν,
ὅθεν κἀμὲ μιμητήν σου ἀνάδειξον.

Ἀλύπιον, πάτερ, ἐκμιμηθείς,
μητέρα ἀφῆκας,
δι᾽ ἀγάπην τοῦ Ἰησοῦ,
καὶ ἄσκησιν ἔντονον μετῆλθες,
ἧς με ἐργάτην ἀνάδειξον δέομαι.

*Θεοτοκίον*

Νοός μου θεράπευσον λογισμούς,
μακρύνοντας, Μῆτερ,
γλυκυτάτου μου Ἰησοῦ,
καὶ δίδου εὐχῆς τὴν εὐλογίαν,
ἐν τῇ καρδίᾳ κατέχειν ἀείποτε.

*Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἄθω Ὄρος ποθήσας,

ὥσπερ δορκὰς ἔδραμες,
ἐν τῇ Ἐσφιγμένου μονάσας,
ὢ Ἀθανάσιε·
διό σου δέομαι,
τὸν πόθον ὃν εἶχες τότε,
πάρεχε ὡς δώρημα,
κἀμοὶ τῷ δούλῳ σου.

Σάρκα πόνοις δαμάσας,
ἀσκητικοῖς, ἅγιε,
τὴν ἀγγελικὴν πολιτείαν,
ἐν γῇ ἐβίωσας,
διὸ ἀξίωσον,
κἀμὲ τὸν ἄχρηστον ζῆσαι,
ταύτην, Ἀθανάσιε,
ὅπως δοξάζω σε.

Ἱερώτατος οἶκος,
τῆς προσευχῆς γέγονας,
καὶ τῆς ἀγρυπνίας ἐργάτης,
ὢ Ἀθανάσιε,
τερπνὸν ψαλτήριον,
καθάπερ ὕμνεις Δεσπότην,
Ὧι εὐχαῖς σου σύναψον,
κἀμὲ τὸν δείλαιον.

*Θεοτοκίον*

Ἀχαρίστου με γνώμης,
καὶ πονηρᾶς λύτρωσαι,
Πάναγνε Παρθένε εὐχαῖς σου,
πρὸς τὸν Φιλάνθρωπον,
καὶ καταξίωσον,
Τοῦτον ἐκ πάσης καρδίας,
εὐλογεῖν με πάντοτε,
ὡς Παντοδύναμον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Διάσωσον,
ὦ Ἀθανάσιε πάτερ,
ἀπὸ πάσης ἐπηρείας ἐχθροῦ πολεμήτορος,
τοὺς πίστει σου πανευλαβῶς,
αἰτουμένους πρεσβείαν.

Ἐπίβλεψον,
ἐν εὐμενείᾳ, Πανύμνητε, Θεοτόκε,
ἀπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι,
τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ποιμὴν ἱερός,
Βασιλευούσης πέφηνας,
εὐχέτης θερμός,
τῶν ἐπικαλουμένων σε,
τοῖς πιστοῖς δεδώρησαι,
Ἀθανάσιε ἁγιώτατε,
ὑπερευχόμενος ἡμῶν,
ὡς πατὴρ στοργικώτατος.

*Ὠιδὴ δ΄. Εἰσακήκοα, Κύριε.*

Νοῦν ναὸν Θεοῦ ἔδειξας,
τῇ ἀδιαλείπτῳ εὐχῇ, Ἀθανάσιε,
ἧς ἐργάτην με ἀνάδειξον,
πρὸς καθαρισμὸν τῶν νοημάτων μου.

Πολυτρόπως τὸν δράκοντα,
τὸν ἀνθρωποκτόνον, πάτερ, ἐφόνευσας,
οὗ τοῦ μίσους διαφύλαξον,
τόν σε ἀνυμνοῦντα, Ἀθανάσιε.

Ἀσκηταῖς συγγινόμενος,

ἐκ παντὸς πανσόφως τούτων ὡς μέλιττα,
ἀρετὰς ἀπήνθεις, Ἅγιε,
αἷς με τῆς ψυχῆς τὸν κῆπον στόλισον.

*Θεοτοκίον*

Ῥῦσαι πάσης κακώσεως,
καὶ ἀσθενειῶν τοὺς πίστει γεραίροντας,
σέ, Πανάμωμε, πρεσβεύουσα,
τῷ Παντελεήμονι ἑκάστοτε.

*Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἔχων τοῦ Χριστοῦ,
παρουσίαν πρὸ ὀμμάτων σου,
Τούτου φωνῆς κατηξιώθης θαυμαστῶς,
ἥν με ἀκοῦσαι,
Πάτερ, δέομαι ἀξίωσον.

Χοῦν ἔχων σαὐτόν,
ἐταπείνου, Ἀθανάσιε,
τὴν συγκατάβασιν μιμούμενος Χριστοῦ,
ἧς μιμητήν με,
τὸν ταλαίπωρον ἀνάδειξον.

Ἐν ὑπομονῇ,
ἀδελφούς σου διηκόνησας,
ὥσπερ Θεῷ ὑπηρετῶν ἀπὸ ψυχῆς,
διὸ ἐργάτην,
Πάτερ, δεῖξόν με φιλάδελφον.
*Θεοτοκίον*

Τέξασα ἁγνῶς,
τὸν Δεσπότην πάσης κτίσεως,
τὴν παῤῥησίαν κατεπλούτησας, Ἁγνή,
ᾗ χρῆσαι αὖθις,

ὑπὲρ δούλων σου πρεσβεύουσα.

*Ὠιδὴ Ϛ΄. Τὴν δέησιν.*

Οὐράνιον,
ἐσχηκὼς τὸ φρόνημα,
ἠξιώθης ἱερεῦσαι Κυρίῳ,
ἀγγελικῶς,
τὴν θυσίαν προσφέρων,
καὶ ἁγιάζων τὰ τέκνα σου, ἅγιε,
ἐν οἷς κατάταξον κἀμέ,
Ἀθανάσιε, Πόλεως καύχημα.

Ἰγνύας μου,
κλονουμένας στήριξον,
Ἀθανάσιε, Κυρίῳ πρεσβεύων,
ἵνα ὁδόν,
σωτηρίας βαδίσω,
καὶ τῶν παγίδων δαιμόνων ῥυσθήσωμαι,
ἐν τέλει δὲ χαριστικῶς,
τὸν Παράδεισον εὕρω ὁ ἄθλιος.

Συνήγαγες,
μοναστῶν συστήματα,
Ἀθανάσιε, σεπταῖς ἀρεταῖς σου,
ἅπερ καλῶς,
ὡς ποιμὴν καθωδήγεις,
πρὸς τὰς αὐλὰς τοῦ Κυρίου ἑκάστοτε,
ὧν μέτοχον δεῖξον κἀμέ,
ἀνοδίαις πλανώμενον, Ἅγιε.

*Θεοτοκίον*

Ἐκαίνισας,
τοὺς ἀνθρώπους, Δέσποινα,
τῷ ἀφθάρτῳ καὶ πανάγνῳ σου τόκῳ·

διὸ κἀμέ,
ταῖς πολλαῖς ἁμαρτίαις,
καταχρανθέντα, Ἀμόλυντε, καίνισον,
δακρύοις τοῖς καθαρτικοῖς,
ἅ μοι χάρισμα δίδου ἰσόβιον.

Διάσωσον,
ὦ Ἀθανάσιε πάτερ,
ἀπὸ πάσης ἐπηρείας ἐχθροῦ πολεμήτορος,
τοὺς πίστει σου πανευλαβῶς,
αἰτουμένους πρεσβείαν.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Παιδιόθεν ποθήσας τὸν Κύριον,
ὁλοψύχως Αὐτῷ ἠκολούθησας,
καὶ ἐμπρέπων,
χριστοειδέσι, πάτερ, ἀρεταῖς,
ἐχρίσθης ἀρχιερεύς,
Βασιλευούσης καὶ ποιμήν,
οἰκουμένης πανάριστος.
Ὅθεν ἐν παῤῥησίᾳ,
πρέσβευε τῷ Δεσπότῃ,
ἵνα εὐήκοον τὸ οὖς,
ἡμῖν τείνῃ, Ἀθανάσιε,

Προκείμενον. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσσονται.

Στίχος. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.*

## ΕΥΑΓΓΕΛΙΟΝ

*Ἐκ τοῦ κατὰ Ματθαῖον(5,14-19)*

Εἶπεν ὁ Κύριος· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη, οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν· ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου ἕως ἂν πάντα γένηται· ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ᾽ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

*Δόξα Πατρί.*

Ταῖς τοῦ σοῦ Ἁγίου,
πρεσβείαις, Ἐλεῆμον ,
ἐξάλειψον τὰ πλήθη,
τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου
πρεσβείαις, Ἐλεῆμον ,
ἐξάλειψον τὰ πλήθη,
τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Πάτερ Ἀθανάσιε,
πατριαρχῶν ἡ ἀκρότης,
πατρικῶς ἱκέτευε,
τὸνΔεσπότην Κύριον Ἰησοῦν Χριστόν,
ὅπως θείᾳ χάριτι,
τοὺς γεραίροντάς σε,
ἐκ κινδύνων διασῴζηται,
καὶ τοῦ ἀλάστορος,
πάσας μηχανὰς καῖ βουλεύματα,
ὡς παίδων τὰ ἀθύρματα,
διαλύῃ αὔρᾳ τοῦ Πνεύματος·
Κρίσεως δὲ ὥρᾳ,
παρίδῃ ἁμαρτήματα ἡμῶν,
καὶ Παραδείσου οἰκήτορας,
δείξῃ ὡς φιλάνθρωπος.

*Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Τῇ προνοίᾳ Κυρίου,
Πατριάρχης ἐγένου τῆς πρώτης Πόλεως,
ἀλλὰ ἐν ταπεινώσει,
καὶ πάσῃ εὐλαβείᾳ,
ἐπορεύθης, μακάριε·
ὅθεν ἡμᾶς μιμητάς,
ἀνάδειξόν σου, Πάτερ.

Ἱερεύσας ἀξίως,
Ἀθανάσιε, τύπος Χριστοῦ γεγένησαι,
ἐν λόγοις τε καὶ ἔργοις,
τὴν ποίμνην σου ποιμάνας,
ὡς προστάσσει ὁ Κύριος,
Ὃν ἐξιλέου ἡμῖν,
πολλὰ ἡμαρτηκότας.

Μοναστῶν προστατεύσας,
καὶ λαοῦ μεριμνήσας, ὦ Ἀθανάσιε,


ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

πτωχούς τε καὶ ἀστέγους,
πεινῶντας, ἀσθενοῦντας,
ἐκ θανάτου διέσωσας,
μεθ’ ὧν συντάξαις ἡμᾶς,
πτωχοὺς ἐν πράξει ὄντας.

*Θεοτοκίον*

Ὦ πανάμωμε Μῆτερ,
τῶν εἰς σὲ προστερχόντων τὸ καταφύγιον,
Υἱόν σου καὶ Δεσπότην,
ἱκέτευε ἀπαύστως,
ὅπως δῷ ἡμῖν ἔλεος,
τοῖς πεπτωκόσι πολλαῖς,
τοῦ βίου ἁμαρτίαις.

*Ὠιδὴ η᾽. Τὸν βασιλέα.*

Σωμάτων νόσους,
καὶ ψυχικὰς ἀσθενείας,
Ἀθανάσιε, ἴασαι σῶν δούλων,
ὅπως σε τιμῶμεν,
ἐξ ὅλης τῆς καρδίας.

Ἵλεων ποίει,
τὸν Ἰησοῦν, θεῖε Πάτερ,
Ὃν λυποῦμεν πλήθεσιν ἁμαρτίας,
καὶ ἀφόβως Τούτου,
καταφρονοῦμεν λόγους.

Πολλοῖς τοῦ βίου,
συνθλιβόμενοι τρόποις,
σὲ προστάτην αἰτούμεθα, τρισμάκαρ,
τὸν συκοφαντίαις,
θλιβέντα παρανόμων.

*Θεοτοκίον*

Ἁμαρτημάτων,
τὴν ψυχήν, Παναγία,
ἀποκάθαρον θείαις σου πρεσβείαις,
καὶ ἐν Κριτηρίῳ,
παράστηθί μοι πρέσβις.

*Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.*

Τῶν ἀρετῶν τὸν σῖτον,
πλήθυνον ψυχῆς μου,
ὁ ἐν λιμῷ εὐλογήσας λειπόμενον,
σῖτον καὶ πλῆθος πεινώντων,
θρέψας τῷ θαύματι.

Ἐκ τῶν δεσμῶν με ῥῦσαι,
ἁμαρτίας, Πάτερ,
ὁ τὸν ἀδίκως δεσμώτην ῥυσάμενος,
ἐλεύθερόν με δεικνύων,
θείαις πρεσβείαις σου.

Ῥητόρων δεινοτάτων,
δάκρυον ἰσχύει,
παρὰ Χριστῷ, Ἀθανάσιε, ἔγνωμεν,
ὅθεν παράσχου μοι τοῦτο,
οἰκτρῷ ἱκέτῃ σου.

*Θεοτοκίον*

Ἀξίωσον, Παρθένε,
τῆς ἀθανασίας,
τοὺς εὐλαβῶς ἀνυμνοῦντας τὴν δόξαν σου,
συμπρεσβευτήν σου λαβοῦσα,
τὸν Ἀθανάσιον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,
μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον,
καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβείμ,
καὶ ἐνδοξωτέραν,
ἀσυγκρίτως τῶν Σεραφείμ,
τὴν ἀδιαφθόρως,
Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

*Μεγαλυνάρια*

Χαίροις Ἀθανάσιε ἱερέ,
τῆς Βασιλευούσης,
Πατριάρχα θαυματουργέ,
χαίροις καὶ παράσχου,
τοῖς ἐπικαλουμένοις,
τὸ θεῖον ὄνομά σου,
χάριν τοῦ Πνεύματος.

Ἴασαι σωμάτων καὶ τῶν ψυχῶν,
ἀσθένειαν πᾶσαν,
Ἀθανάσιε θαυμαστέ,
τῷ Χριστῷ πρεσβεύων,
ὑπὲρ ἡμῶν σῶν τέκνων,
τῶν πίστει γεραιρόντων,
μνήμην ἁγίαν σου.

Ἴδοιμι, ὦ Πάτερ, κἀγὼ Χριστόν,
ἐν ὥρᾳ ἐσχάτῃ,
ὥσπερ Τοῦτον εἶδες δισσῶς,
καὶ ἀνάδειξόν με,
μέτοχον παραδείσου,
σὺν πᾶσι τοῖς Ἁγίοις,
ὦ Ἀθανάσιε.

Ἐν Ὀρθοδοξίᾳ τῇ ἱερᾷ,
φύλαττε σὰ τέκνα,
καὶ ἐν πράξεσιν ἀρεσταῖς,
θείῳ Νομοθέτῃ,
Οὗ ἐντολὰς φυλάξας,
τύπος πιστῶν ἐγένου,
ὦ Ἀθανάσιε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες,
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*

*Ἦχος β.' Ὅτε ἐκ τοῦ ξύλου σε.*

Πάτερ Ἀθανάσιε κλεινέ,
τῶν Πατριαρχῶν θεία δόξα,
Χριστὸν ἱκέτευε,
ὅπως τοὺς τιμῶντας σε διαφυλάττῃ ἀεί,
ἐκ κινδύνων καὶ θλίψεων,
ἐν ὥρᾳ δ' ἐσχάτῃ,
βασιλείαν ἄφθορον Αὐτοῦ χαρίσηται,
ἔνθα καθορῶντες τὴν δόξαν,
τοῦ φωτεινοτάτου προσώπου,
τῆς ἀθανασίας συμμετάσχωμεν.

Δέσποινα, πρόσδεξαι,
τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς,
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τὴν πᾶσαν ἐλπίδα μου,
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

*Δι᾽ εὐχῶν.*

## *Στίχοι*

*Ζωὴν δώρησαι ἡμῖν ἀθανασίας,*
*πάτερ Ἀθανάσιε, Χριστῷ πρεσβεύων.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ